Fig. 2.




Πέτρον, Παῦλον, καὶ Ἰωάννην.

ΤΟίνυν ἐκ τοῦ προτεθέντος διαγράμματος γνώριμοι καθεστήκασιν αἱ οὐσιώδεις, καὶ καθ᾽ αὑτὸ Διαφοραί. ἅπερ διαιροῦσαι τὰ Γένη, συνιστῶσι τὰ ὑπ᾽ ἐκεῖνα Εἴδη. αἱ αὐταὶ οὖσαι διαιρετικαί τε καὶ συστατικαί, κατ᾽ ἄλλο καὶ ἄλλο ὡς εἴρηται.

Πρὸς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Πρὸς τούτοις γνώριμον γίνεται, ὅτι τὰ γενικώτατα Γένη, συστατικὰς οὐκ ἔχει Διαφορὰς, (τὸ γὰρ συνιστῶν, πρότερον εἶναι χρεὼν τοῦ συνισταμένου, πρότερον δὲ οὐδὲν τῶν γενικωτάτων.) ἀλλὰ μόνον διαιρετικὰς, ὅπερ τεθεώρηται ἐπὶ τῆς προκειμένης Οὐσίας τῷ διαγράμματι. ἧς διαιρετικαὶ μὲν εἰσὶ Διαφοραὶ τὸ ἐνσώματον, καὶ ἀσώματον, συστατικὴ δὲ οὐδεμία, διὰ τὴν αἰτίαν ἣν ἔφημεν. Ἔμπαλιν δὲ τὰ εἰδικώτατα Εἴδη, συστατικὰς μόνον ἔχει διαφορὰς, οὐχὶ δὲ καὶ διαιρετικάς. ὅπερ ἐνταῦθα δῆλον γίνεται ἐπὶ τοῦ Ἀνθρώπου, ὄντος Εἴδους εἰδικωτάτου. καίπερ γὰρ ὁ ἄνθρωπος διαιρεῖται εἰς Σωκράτην, Πλάτωνα, καὶ τοὺς κατὰ μέρος Ἀνθρώπους, διαίρεσις μέν τοι οὐ γίνεται δι' οὐσιωδῶν Διαφορῶν, περὶ ὧν ἐνταῦθα ὁ λόγος, ἀλλὰ κατὰ συμβεβηκός. ὅτι πρῶτον μὲν αἱ Διαφοραὶ συνιστῶσιν Εἴδη, ὁ δὲ Σωκράτης, καὶ Πλάτων οὐκ εἰσὶν εἴδη, ἀλλ' ἄτομα.
Δεύτερον. ὅτι ἡ διαίρεσις βούλεται εἰς μέρη διωρισμένα γίνεσθαι, τὰ δὲ ἄτομα ἀδιόριστα. τὰ δὲ μεταξὺ ὑπάλληλα, συστατικὰς μὲν ἔχει διαφορὰς τὰς τῶν ἀνωτέρω διαιρετικὰς, τοὐναντίον δὲ διαιρετικὰς τὰς τῶν κατωτέρω συστατικάς.

## Ἑτέρα σύνοψις τῶν ἐν τῷ β'. μέρει.

Τριχῶς τῆς Διαφορᾶς τῷ Πορφυρίῳ διαιρεθείσης, εἴς τε τὴν καθ' αὑτὸ, καὶ τὴν κοινῶς, καὶ ἰδίως, ἡ μὲν ἰδίως Διαφορὰ, ἐν τῷ περὶ Ἰδίου κεφαλαίῳ θεωρηθήσεται, ἡ δὲ κοινῶς, ἐν τῷ περὶ συμβεβηκότος. ἐπὶ τοῦ παρόντος δὲ περὶ μόνης τῆς ἰδιαίτατα, καὶ καθ' αὑτὸ Διαφορᾶς ἡ θεωρία προτείνεται. ἧς τέτταρας ὑπογραφὰς ὁ Πορφύριος ἀποδίδωσιν. ὧν πρώτη ἐστὶν αὕτη. Διαφορά ἐστιν ᾗ περιττεύει τὸ Εἶδος τοῦ Γένους. τὸ γὰρ Εἶδος ἐκ Γένους καὶ οὐσιώδους Διαφορᾶς συνεστηκὸς, πλέον τι ἐναποκλείει ἐν τῇ αὐτοῦ φύσει, ἤπερ τὸ Γένος, δηλονότι τὴν Διαφοράν. οἷον τὸ Ζῶον, ὅπερ ἐστὶ Γένος, οὐσίας ὄντος ἐμψύχου καὶ αἰσθητικῆς, ὁ ἄνθρωπος ὅπερ ἐστὶν Εἶδος τοῦ Ζώου. ἔστι πρὸς τούτοις καὶ λογικὸν, ὅπερ ἐστὶ Διαφορά. πρὸς ἣν ἀπορήσειέ τις, πῶς ἐστὶν αὕτη κυρίως ὑπογραφὴ τῇ καθ' αὑτὸ διαφορᾷ προσήκουσα, ἐπείπερ καὶ διὰ τοῦ Ἰδίου περιττεύει τὸ Εἶδος τοῦ Γένους. ἢ ὅτι περιττεύει μὲν, οἷον διὰ τοῦ γελαστικοῦ ὁ αὐτὸς περιττεύει τοῦ ζώου, ἀλλὰ τοῦτο ἐγκλείεται τῷ λογικῷ.

Δεύτερον ὑπογράφει ταύτην, ὅτι διαφορά ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ Εἴδει ἐν τῷ ὁποῖόν τι ἐστὶ κατηγορούμενον. σαφηνίζει δὲ ταύτην διὰ παραδείγματος τοῦ λογικοῦ. τὸ γὰρ λογικὸν, ὅπερ ἐστὶ διαφορὰ,

κατὰ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

κατὰ θνητοῦ τε καὶ ἀθανάτου κατηγορεῖται, ἅτινα διαφέρει τῷ Εἴδει. ἀλλ' αὕτη ἡ ὑπογραφὴ πάντως ἐστὶν ἀτελής, ὡς καὶ αὐτὸς ὁ Πορφύριος διδάσκει· οὔτε γὰρ πάσῃ διαφορᾷ, οὔτε μόνῃ ἁρμόζει, διὰ τὸ εἶναι ἐπὶ πλέον τοῦ ὁριστοῦ, καὶ ἐπ' ἔλαττον. ἐπὶ πλέον μὲν ὅτι καὶ τοῖς συμβεβηκόσι προσήκει· τὸ γὰρ χρῶμα κατηγορεῖται λευκοῦ, καὶ μέλανος, καὶ τῶν τοιούτων, ἃ διαφέρει τῷ Εἴδει, καὶ ἐν τῷ ὁποῖόν τί ἐστιν. οὔτε πάσῃ ἁρμόζει, διὰ τὸ εἶναι ἐπ' ἔλαττον. οὐ γὰρ καὶ ταῖς ἐσχάταις Διαφοραῖς, κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ κατηγορουμέναις. φασὶ γὰρ ὅτι αἱ τοιαῦται Διαφοραὶ ὑφεστήκασι (φέρε εἰπεῖν οὐσιώδεις Διαφοραὶ) Ἵππου, Βοός, Λέοντος, καὶ τῶν λοιπῶν, εἰ καὶ τὰ πλεῖστα ἡμᾶς λανθάνουσιν. ἃ γὰρ ἡμεῖς ἐν τοῖς ὁριστικοῖς λόγοις τούτων λαμβάνομεν, ὡς ἐπὶ τοῦ ἵππου τὸ χρεμετιστικόν, οὐκ εἰσὶν ἔσχαται Διαφοραί, ἀλλ' Ἴδια. Διὰ δὲ τὸ λανθάνειν ἡμᾶς ἐκείνας, ταῦτα ἀντ' ἐκείνων λαμβάνομεν. εἰσάγουσι καὶ μάρτυρα τὸν Φιλόσοφον ἔν τε τῷ ζ. τῆς πρώτης Φιλοσοφίας κεφ. ιβ΄. τῷ τε πρώτῳ περὶ Ζώων μορίων Κεφ. β΄. οὐ μὴν, ἀλλὰ καὶ παραδείγματι συλλογιστικῷ τὸ δόγμα κατασκευάζουσιν. αἱ τῶν ὄντων γὰρ οὐσίαι τε καὶ φύσεις, οὕτως εἰσὶν ἁπλαῖ ὡς οἱ ἀριθμοί. οἱ δὲ ἀριθμοὶ ἐν τούτῳ, ἢ ἐκείνῳ τῷ Εἴδει συνίστανται, διὰ θέσεως μιᾶς ἁπλῆς μονάδος. οὕτως ἄρα καὶ τὰ ὄντα δι' ἁπλῆς καὶ ἐσχάτης Διαφορᾶς ἐν τοῖς οἰκείοις Εἴδεσιν ἀνάγκη συνίστασθαι. οὕτω κατὰ ἀναλογίαν συμπεραίνουσι τὰς ἐσχάτας ὑφεστηκέναι διαφοράς, καίπερ ἡμᾶς λανθανούσας.

Εἰ δέ τις ἐθελήσειε, τὰ λανθάνοντα ταῦτα παραιτούμενος τοῖς ἐναργεστέροις ἐπακολουθεῖν, φήσειεν οὐκ ἀπὸ σκοποῦ, ὅτι τὸ ἄλογον ἐστὶν ἡ ἐσχάτη διαφορὰ πάντων τῶν μὴ λογικῶν, ὥσπερ τὸ λογικὸν τῶν μὴ ἀλόγων. φαμὲν γὰρ, ὅτι τὸ λογικὸν καὶ ἄλογον, διαιροῦντα τὸ Γένος, τὸ μὲν τὰ λογικὰ, τὸ δὲ τὰ ἄλογα συνιστῶσιν Εἴδη. Εἰ δέ τις εἴπῃ, ὅτι τὰ ἄλογα εἰς πλείονα διαιρούμενα Εἴδη, ἀνάγκη ἕκαστον τούτων ἰδίαν ἐσχάτην ἐσχηκέναι Διαφορὰν, ἀφ' ἧς καὶ τὸ ἴδιον ἑκάστῳ ἕπεται, ἐροῦμεν· ὅτι ὥσπερ τὸ λογικὸν ἐπί τε ἀνθρώπου, καὶ τῶν αἰθερίων λεγόμενον, οὐκ ἀνάγκη καὶ τὰ αἰθέρια γελαστικὰ εἶναι, ὥσπερ ὁ ἄνος, ἀλλ' ἀπὸ τῆς διαφόρου μορφῆς τούτων καὶ οὐσίας, ἑκάστῳ τούτων τὸ ἴδιον ἕπεται, ὥστε τὸ μὲν εἶναι γελαστικὸν θνητὸν, τὸ δὲ μὴ γελαστικὸν καὶ ἀθάνατον, οὕτω κἂν τοῖς ἀλόγοις, ἀπὸ τῆς μορφῆς ἑκάστου καὶ οὐσίας, τὸ ἴδιον διάφορον ἕπεται. ὅθεν ὥσπερ τὸν Ἄνθρωπον ὁριζόμενοι λέγομεν, ζῶον λογικὸν γελαστικὸν, τὴν ἐσχάτην Διαφορὰν αὐτοῦ σὺν τῷ ἰδίῳ παραλαμβάνοντες, οὕτω τὸν Ἵππον ζῶον ἄλογον χρεμετιστικὸν, καὶ τὸν Βοῦν ζῶον ἄλογον μουγκιστικὸν, καὶ τὰ λοιπὰ καθ' ἑξῆς

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἑξῆς τοῖς ἰδίοις παραλαμβάνομεν, ὁρίζοντες τὴν Διαφορὰν τούτων, ὅπερ ἐστὶ τὸ ἄλογον. Εἰ δὲ πλείονα τὰ τοῦ ἀλόγου Εἴδη, τοῦτο οὐδὲν πρὸς ἀμφιβολίαν συμβάλλεται. ἔστι γὰρ καὶ τοῦ λογικοῦ δύο τὰ Εἴδη.

Τρίτη. ὅτι Διαφορά ἐστιν, ὃ πέφυκε χωρίζειν τὰ ὑπὸ τῷ αὐτῷ Γένει. εἰ δέ τις ἐρεῖ, ὅτι καὶ τὰ καθ' ἕκαστα ἑτεροειδῆ ὑπὸ τὸ αὐτὸ Γένος ὄντα, χωρίζεται ἀλλήλων, καὶ τοῖς συμβεβηκόσιν, εἰρήσεται πρὸς αὐτόν. ὅτι ἐνταῦθα ἐννοεῖται τὰ ἀμέσως ὑπὸ τὸ αὐτὸ Γένος ὄντα, οἷα εἰσὶ τὰ Εἴδη.

Τετάρτη. ὅτι Διαφορά ἐστιν, ὅτῳ διαφέρει ἕκαστον ἑκάστου. εἰ δὲ καὶ τοῖς συμβεβηκόσι διαφέρει τὰ ὄντα, ἀλλ' ἐνταῦθα ἐννοεῖται οὐσιωδῶς. καθ' ὅ,τι γὰρ διαφέρει ἕκαστον ἑκάστου οὐσιωδῶς, τοῦτο Διαφορὰ οὐσιώδης ἐστίν.

## Σύνοψις τῶν ἐν τῷ γ'.

Εἴληπται δὲ ἡ μὲν πρώτη καθ' ὅσον ἡ διαφορὰ συνιστᾷ τὸ Εἶδος, ἡ δὲ β'. καθ' ὅσον ἐνυπάρχει τοῖς Εἴδεσι, καὶ κατὰ τῶν αὐτῶν κατηγορεῖται. Ἡ δὲ τρίτη καὶ τετάρτη, καθ' ὅσον τὰ Εἴδη πρὸς ἄλληλα διενήνοχε. καὶ ἡ μὲν πρώτη πάσαις ἐφαρμόττει ταῖς Διαφοραῖς, εἰδικωτάταις καὶ ὑπαλλήλοις. ὁμοίως ἡ τρίτη καὶ ἡ τετάρτη. ἡ δὲ β'. μόναις ταῖς ὑπαλλήλοις, συνεπινοεῖται δὲ ἐπὶ πασῶν τὸ, (1) οὐσιωδῶς. ἄλλως γὰρ αὖ οὐ μόνον ταῖς Διαφοραῖς, ἀλλὰ καὶ ἰδίοις καὶ συμβεβηκόσιν ἐφαρμόσειαν αἱ αὐταὶ ὑπογραφαί, μάλιστα ἡ β'. καὶ δ'. πολλὰ γὰρ τῶν συμβεβηκότων, κατὰ διαφερόντων τῷ Εἴδει κατηγορεῖται ἐν τῷ ὁποῖον (2) τί ἐστι, καὶ οὐ μόνον κατ' Οὐσίαν ἀλλήλων διαφέρει τὰ ὄντα, ἀλλὰ καὶ κατὰ Συμβεβηκός.

Τινὲς δὲ καὶ τοιαύτην τινὰ ὑπογραφὴν περὶ τῆς ἰδιαίτατα Διαφορᾶς ἀποδεδώκασιν. ὅτι Διαφορά ἐστι μέρος οὐσιῶδες τοῦ Εἴδους, καθ' ἣν διαφέρει τὰ ὄντα πρὸς ἄλληλα, κατὰ πλειόνων καὶ διαφερόντων τῷ Εἴδει, (εἰ ἐστὶν ὑπάλληλος.) ἢ τῷ ἀριθμῷ, (εἰ ἐστὶν ἐσχάτη) ἐν τῷ ὁποῖον τί ἐστιν οὐσιωδῶς κατηγορουμένη. κατηγορουμένη τοιγαροῦν ἡ Διαφορὰ οὐσιωδῶς, ὡς συστατικὴ δηλονότι τῆς Οὐσίας, τῶν καθ' ὧν κατηγορεῖται πραγμάτων, ἀντιδιαστέλλεται τοῦ Ἰδίου καὶ συμβεβηκότος ἐπουσιωδῶς κατηγορουμένων. Διὰ δὲ τοῦ ὁποῖον τί ἐστι, διακρίνεται Γένους τε, καὶ Εἴδους.

Ἰστέον δὲ, ὅτι τὸ ὁποῖον κοινῶς λαμβανόμενον, σημαίνει ὁποιανοῦν μορφὴν, ἢ οὐσιώδη, ἢ κατὰ συμβεβηκός. πάλιν τὸ κατὰ συμβεβηκὸς ὁποῖον, ποτὲ μὲν κοινότερον λαμβάνεται, καὶ σημαίνει πᾶσαν κατὰ συμβεβηκὸς κατηγορίαν. ποτὲ δὲ ἰδίως, καὶ σημαίνει κυρίως τὴν τῆς ποιότη-

τος

(1) Ἤτοι διαφέρειν οὐσιωδῶς. (2) Ὡς τὸ δίπουν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῆς κατηγορίας. ἐνταῦθα δὲ ἐννοεῖται κατὰ τὸν πρῶτον τρόπον, καθὸ δηλαδὴ σημαίνει τὴν Οὐσιώδη μορφήν. διὸ καλῶς πρόσκειται τῇ ὑπογραφῇ τό, οὐσιωδῶς, δι' οὗ τῶν μὴ τοιούτων ἀντιδιαστέλλεται.

Ἔστι δὲ τὸ ὑπογραφόμενον ταῖς ἀποδοθείσαις ὑπογραφαῖς ἡ καθόλου φύσις, καθ' ἣν ὡς εἴρηται οὐσιωδῶς διαφέρει τὰ ὄντα. ἥτις ἰδιαίτατα Διαφορὰ προσηγόρευται. ἔστι δὲ καθόλου πρός τε τὸ Εἶδος οὗ ἐστὶ Διαφορὰ ἀναφερομένη, καὶ πρὸς τὰ ἄτομα, τὰ ὑπὸ τῷ αὐτῷ Εἴδει. κατὰ μὲν γὰρ τὴν πρὸς τὰ ἄτομα σχέσιν ἐστὶ καθόλου. ὅτι τὸ ἐν πλείοσιν ὑπάρχον καὶ κατὰ πλειόνων κατηγορούμενον, καθόλου πάντως ἐστίν. ὁμοίως δὲ καὶ ἀναφερομένη πρὸς τὸ Εἶδος ἡ Διαφορὰ καθόλου ἐστί. τὸ γὰρ συνεκτεινόμενον τῷ καθόλου, καὶ κατηγορούμενον κατ' ἐκείνου, καθόλου πάντως ἐστίν, ἡ δὲ Διαφορὰ ἀναφερομένη πρὸς τὸ Εἶδος, συνεκτείνεται τῷ Εἴδει, καὶ κατηγορεῖται κατ' ἐκείνου. ὥστε καὶ οὕτως ἡ Διαφορὰ καθόλου ἐστίν.

Κἀκεῖνο εἰδέναι δέον, ὅτι κἀκεῖνο κατηγορεῖται ἐν τῷ ὁποῖόν τί ἐστι, δι' οὗ δυνατὸν ἀπαντῆσαι πρὸς τὴν ὁποῖόν τι ἐστὶν ἐρώτησιν. οἷον εἴ τις ἐρωτώη, ὁποῖον ζῶον ὁ ἄνθρωπος, ὀρθῶς ἀποκρινούμεθα ὅτι λογικόν. ἔστι δὲ τοῦτο ταῖς Διαφοραῖς οἰκεῖον, διὰ τὸ οἱονεὶ μορφῆς λόγον ἔχειν πρὸς τὰ Γένη. τὸ γὰρ Γένος ἀναλόγως ἔχει τῇ Ὕλῃ, ἡ δὲ Διαφορὰ τῇ μορφῇ τοῦ ἀνδριάντος. ὥσπερ γὰρ αὕτη μορφοῦσα φέρε εἰπεῖν τὸν χαλκόν, συνίστησι τὸν ἀνδριάντα, τὸν αὐτὸν τρόπον καὶ τὸ λογικὸν μορφοῦν πως τὸ Ζῶον, συνίστησι τὸν Ἄνθρωπον.

Εἶχε δ' ἂν ἀπορῆσαί τις πρὸς τὴν πρώτην, καὶ τρίτην, καὶ τετάρτην ὑπογραφήν, δι' ὧν ὁ Πορφύριος τὴν Διαφορὰν ὑπέγραψεν, ὅτι ἐν ταύταις ἡ Διαφορὰ οὐ λαμβάνεται ὡς κατηγορουμένη, πῶς οὖν ὡς καθόλου ὑπογράφεται, εἴγε τὸ καθόλου ἐν τῷ κατηγορεῖσθαι ἐστί; πρὸς ὃν ῥητέον, ὅτι τὸ καθόλου οὐκ ἐν τῷ κατηγορεῖσθαι κατὰ πλειόνων συνέστηκεν, ἀλλ' ἐν τῷ πλείοσιν ὑπάρχειν, τῷ λόγῳ οὖν κατὰ τὴν ταυτότητα τῆς φύσεως. τὰ γὰρ καθόλου, εἰ καὶ μὴ κατηγοροῦνται, ἀλλ' οὖν διὰ τὸ ἐνυπάρχειν πολλοῖς, οὐδὲν ἧττον εἰσὶ καθόλου. καὶ ταῦτα περὶ Διαφορᾶς.



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Τεχνικῶς διαιρεῖται ὁ παρὰ Πορφυρίῳ περὶ Διαφορᾶς κεφ.

- α΄. ἐν ᾧ τὰ σημαινόμενα τῆς Διαφορᾶς ἀποτίθεται, καὶ τίνας ἑτερότητας πρὸς ἄλληλα τούτων ἀναπτύσσει.
  - Τὴν μὲν κοινῶς εἴρηκε Διαφοράν, οἷόν ἐστι τὸ κυρίως χωριστὸν Συμβεβηκός, δι᾽ οὗ διαφέρει ἕτερον ἑτέρου, ἢ καὶ ἑαυτοῦ.
  - Τὴν δὲ ἰδίως, ὅπερ λέγεταί πως καὶ ἀχώριστον συμβεβηκός.
  - Τὴν δὲ ἰδιαίτατα, ἥτις ἐστὶ κυρίως καὶ ἀληθῶς ἀχώριστος τῆς Οὐσίας.
- β΄. ἐν ᾧ τὸ ἰδιαίτατον σημαινόμενον περὶ οὗ ὁ λόγος ἐνταῦθα προχειρησάμενος διαφόρως ὑπογράφει.
  - Διαφορά ἐστιν, ᾗ περισσεύει τὸ εἶδος τοῦ γένους.
  - Διαφορά ἐστι, τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ Εἴδει, ἐν τῷ ὁποῖόν τι ἐστι κατηγορούμενον.
  - Διαφορά ἐστιν, ὃ πέφυκε χωρίζειν τὰ ὑπὸ τοῦ αὐτοῦ Γένους.
  - Διαφορά ἐστιν ὅτῳ διαφέρει ἕκαστον ἑκάστου.
- γ΄. ἐν ᾧ τὰς ἀποδοθείσας Ὑπογραφὰς ἀναπτύσσει.
  - Ἡ μὲν α΄. εἴληπται, καθ᾽ ὅσον συνιστᾷ ἡ Διαφορὰ τὸ Εἶδος.
  - Ἡ δὲ β΄. καθ᾽ ὃ ἐνυπάρχει τοῖς Εἴδεσι, καὶ κατὰ τούτων κατηγορεῖται.
  - Ἡ δὲ γ΄. καὶ τετάρτη, καθ᾽ ὅσον τὰ εἴδη πρὸς ἄλληλα διοικίζει.

## Περὶ Ἰδίου.

ΜΕτὰ τὴν ἔκθεσιν τοῦ περὶ Διαφορᾶς Κεφαλαίου, τοῦ Ἰδίου ἐφάπτεται ὁ Πορφύριος. τῶν γὰρ κατὰ συμβεβηκὸς κατηγορημάτων, μά-

λιςα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

λιστα τὸ Ἴδιον προσεγγίζει τῆς Διαφορᾶς τῇ φύσει, ὅτι καὶ προσεχῶς ἀπὸ τοῦ εἰδοποιηθέντος διὰ τῆς διαφορᾶς προέρχεται. διὸ τιμιώτερόν ἐστι, καὶ προσεχέστερον τῇ φύσει ἑκάστου, ἢ τὸ κοινῶς συμβεβηκός. καὶ προηγεῖται ἐκείνου ὄντος ἀλλοτρίου τῆς φύσεως τοῦ εἰδοποιηθέντος. ὅθεν πολλάκις κἀν τοῖς ὅροις ἀντὶ Διαφορᾶς λαμβάνεται, ἡνίκα ἡ οἰκεία τοῦ πράγματος λανθάνει Διαφορά. διὸ ὀρθῶς τοῦ ἁπλῶς Συμβεβηκότος προηγεῖται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Διαίρεσις τοῦ Κεφαλαίου.

Διαιρεῖται δὲ τὸ περὶ Ἰδίου κεφάλαιον εἰς δύο. ὧν ἐν μὲν τῷ ά. ὁ Πορφύριος τὰ τέτταρα τοῦ Ἰδίου σημαινόμενα ἐκτίθησι, καὶ παραδείγμασιν ἅμα σαφηνίζει. ἐν δὲ τῷ β. τὸν τέταρτον τοῦ Ἰδίου τρόπον ὑπογράφει, καί τινα τούτου ἰδιότητα ἀποδίδωσι.

## Περὶ τῶν ἐν τῷ Πρώτῳ μέρει.

Πρῶτον σημαινόμενον τοῦ Ἰδίου ἐστὶν, ὃ μόνῳ τινὶ Εἴδει συμβέβηκεν, ἀλλὰ μὴ παντί. ὡς τῷ Ἀνθρώπῳ γραμματικὸν εἶναι, ἢ γεωμέτρην. εἴρηται δὲ μὴ παντὶ, ὅτι οὐ πᾶσι τοῖς ὑπὸ τὸ Εἶδος ἀτόμοις ἐνεῖναι ἀναγκαῖον. εἰ γὰρ τὸ Γραμματικὸν εἶναι, ἢ Ἰατρὸν μόνῳ τῷ Ἀνθρωπίνῳ Εἴδει ἐφαρμόττει, οὐ πᾶσι μέντοι τοῖς ὑπ' ἐκεῖνο ἀτόμοις ἐνυπάρχει.

Δεύτερον σημαινόμενον ἐστὶν, ὃ παντὶ τῷ εἴδει συμβέβηκεν, ἀλλὰ μὴ μόνῳ. ὡς τῷ Ἀνθρώπῳ τὸ δίπουν εἶναι. μὴ μόνῳ δὲ εἴρηται, ὅτι τὸ δίπουν καὶ ἐφ' ἑτέροις συμβέβηκε.

Τρίτον σημαινόμενον τοῦ Ἰδίου λέγεται, ὃ μόνῳ τινὶ Εἴδει, καὶ παντὶ συμβέβηκεν, ἀλλὰ μὴ ἀεὶ, ἀλλὰ ποτέ. ὡς τῷ Ἀνθρώπῳ ἐν γήρᾳ πολιοῦσθαι. τοῦτο γὰρ Ἀνθρώπῳ μόνῳ ἴδιον ἐστὶ καὶ παντὶ, ἀλλ' ὀψὲ τῆς ἡλικίας γενομένῳ.

Παρὰ ταῦτα τέταρτον σημαινόμενον τοῦ Ἰδίου λέγεται, ὃ καὶ κυρίως Ἴδιον, ὃ μόνῳ τινὶ Εἴδει, καὶ παντὶ, καὶ ἀεὶ συμβέβηκεν, ὡς τὸ γελαστικόν. μόνος γὰρ ὁ Ἄνθρωπος, καὶ πᾶς Ἄνθρωπος, καὶ ἀεὶ ἐστὶ γελαστικὸν, τουτέστιν ἡ τοῦ γελᾷν δύναμις ἀεὶ ἐν αὐτῷ ὑπάρχει. εἰ γὰρ καὶ τὸ γελᾷν ἐνεργείᾳ οὐχ ὑπάρχει διηνεκῶς τοῖς Ἀνθρώποις, πεφύκασι μέντοι πάντες γελᾷν, καὶ ἡ τοῦ γελᾷν ἐπιτηδειότης ἀδιαλήπτως αὐτοῖς ἔνεστι.



ΕΨΑ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Περὶ τῶν ἐν τῷ β. μέρει.

ΤΟ τέταρτον σημαινόμενον τοῦ Ἰδίου ὑπογράφων ὁ Πορφύριος φησίν· ὃ μόνῳ, τουτέστι μόνῳ τινὶ Εἴδει, καὶ παντὶ, δηλονότι πᾶσι τοῖς ὑφ' αὐτὸ ἀτόμοις, καὶ ἀεὶ, τουτέστιν ἀεὶ συνυπάρχει, καὶ μηδέ ποτε αὐτοῦ ἐκείνου δυνατὸν εἶναι ὑπάρχειν τὸ τοιοῦτον Εἶδος. ὅθεν καὶ τοιαύτην τινὰ ἰδιότητα τούτου ἐπιφέρει, τὸ ἀντιστρέφειν τῷ Εἴδει δηλαδὴ, οὗ ἐστιν Ἴδιον. ἀληθεύει γὰρ ἀεὶ εἰπεῖν, ἄνθρωπος ἐστὶν, ἄρα γελαστικόν. καὶ γελαστικόν ἐστιν, ἄρα ἄνθρωπος.

Ἰστέον ὅτι τὸ Ἴδιον, ποτὲ μὲν τῷ μὴ Ἰδίῳ ἀντίκειται, ποτὲ δὲ τῷ κοινῷ. ἐνταῦθα μὲν οὖν τὸ Ἴδιον λαμβάνεται ᾗ ἀντίκειται τῷ κοινῷ. ὅθεν ὁσαχῶς τὸ κοινὸν, τοσαυταχῶς καὶ τὸ Ἴδιον ὀφείλει λέγεσθαι. ἑκάτερον γὰρ τῶν ἀντικειμένων, ὁσαχῶς λέγεται, τοσαυταχῶς καὶ ἑκάτερον λεχθήσεται. τὸ μέν τοι κοινὸν λέγεται γενικὸν καὶ εἰδικόν. ὅθεν καὶ τοῦ Ἰδίου τὸ μὲν ἐστι γενικὸν, τὸ δὲ εἰδικόν. καὶ γενικὸν μὲν ἐστιν Ἴδιον, ὅπερ τῷ πρώτῳ φυσικῷ σώματι ἁρμόζει, ὡς τὸ κεχρῶσθαι. Ἴδιον γὰρ τοῖς φυσικοῖς σώμασι κεχρῶσθαί πως. εἰδικὸν δὲ Ἴδιον ἐστὶν, ὅπερ ἑνὶ μόνῳ Εἴδει ἁρμόζει, περὶ οὗ ἐπὶ τοῦ παρόντος τῷ Πορφυρίῳ ὁ λόγος. οὗ τινος τέτταρα τὰ σημαινόμενα ἀνωτέρω ἐξήνεγκε, καὶ ἕκαστον ὑπέγραψεν. ἀλλ' αἱ μὲν τρεῖς ὑπογραφαὶ τοῦ Ἰδίου, καὶ τῷ κοινῷ Συμβεβηκότι ἁρμόσειαν ἂν, περὶ οὗ ἐν τοῖς ἐφεξῆς. ἡ δὲ τετάρτη ὑπογραφὴ, μόνῳ τῷ κυρίως Ἰδίῳ. ἔστι δὲ μᾶλλον τῶν ἄλλων τοῦτο ἐπιστάσεως ἄξιον, ὅτι αἱ τῶν ὄντων φύσεις θεωροῦνται τῷ Πορφυρίῳ; οὐ καθὸ εἰσὶν ἁπλῶς, ἀλλὰ καθὸ εἰσὶν ἐν πολλοῖς, τουτέστι καθὸ καθόλου ἐν τοῖς πολλοῖς. ὑπογράφονται δὲ ὑπ' αὐτοῦ οὐ καθὸ κατηγοροῦνται, ἀλλὰ καθὸ ὑπάρχουσιν ἐν πολλοῖς, ὡς ἡ τοῦ Ἰδίου καὶ Συμβεβηκότος ὑπογραφὴ δῆλον καθίστησιν. ὁ γὰρ τοῦ ὁρίζειν τρόπος ἕπεται τῷ τρόπῳ τῆς θεωρίας τοῦ ὁριζομένου.

## Διαίρεσις τοῦ Ἰδίου κατὰ τὸν Φιλόσοφον ἐν τοῖς Τοπικοῖς. Βιβλίῳ α'. Κέφ. δ'.

ΠΑρὰ δὲ τῷ Φιλοσόφῳ τὸ Ἴδιον τριχῶς λέγεται ἐν τοῖς Τοπικοῖς. ἢ ἁπλῶς, ἢ ποτὲ, ἢ πρός τι. ἁπλῶς μὲν, ὃ μὴ δηλοῖ τὸ τί ἦν εἶναι, μόνῳ δὲ ὑπάρχει, καὶ ἀντικατηγορεῖται τοῦ πράγματος. οἷον, ἴ-

διον

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

διον Ἀνθρώπου τὸ γραμματικῆς εἶναι δεκτικόν. εἰ γὰρ Ἄνθρωπος ἐστὶ, γραμματικῆς ἐστὶ δεκτικὸς, καὶ εἰ ἐστὶ γραμματικῆς δεκτικὸς, ἐστὶν ἄνθρωπος. ποτὲ δὲ Ἴδιον, ὡς τὸ δεξιὸν εἶναι τὸν Σωκράτην, ἢ πολιοῦσθαι ἐν γήρᾳ: πρός τι δὲ, ὃ πρὸς ἕτερόν τι μὲν, ἴδιον τινὶ λέγεται, οὐ πρὸς πάντα δέ. οἷον τῷ Ἀνθρώπῳ τὸ εἶναι δίπουν, πρὸς Κύνα καὶ Ἵππον ἐστὶν Ἴδιον, πρὸς Ὄρνιν δὲ οὐκ ἔστιν, ὅτι καὶ Ὄρνις δίπους.

Εἰς δύο διαιρεῖται ὁ παρὰ Πορφυρίῳ περὶ Ἰδίου κεφ.

- α. ἐν ᾧ τέτταρα σημαινόμενα τούτου ἐκτίθησι, καὶ παραδείγμασιν ἅμα πάντα σαφηνίζει.
  - α. Ἴδιον ἐστὶν, ὃ μόνῳ τινὶ Εἴδει συμβέβηκεν, ἀλλὰ μὴ παντί. ὡς τῷ Ἀνθρώπῳ γραμματικὸν εἶναι, ἢ γεωμέτρην.
  - β. ὃ παντὶ τῷ Εἴδει συμβέβηκεν, ἀλλὰ μὴ μόνῳ. ὡς τῷ Ἀνθρώπῳ τὸ δίπουν εἶναι.
  - γ. ὃ μόνῳ τινὶ Εἴδει καὶ παντὶ συμβέβηκεν, ἀλλὰ μὴ ἀεὶ, ἀλλὰ ποτέ. ὡς τῷ Ἀνθρώπῳ ἐν γήρᾳ πολιοῦσθαι.
  - δ. ὃ μόνῳ τινὶ Εἴδει, καὶ ἀεὶ, καὶ παντὶ συμβέβηκεν, ὡς τῷ Ἀνθρώπῳ τὸ γελαστικόν.
- β. ἐν ᾧ τὸν τέταρτον τρόπον τοῦ Ἰδίου ὑπογράφει, καὶ τινα ἰδιότητα τούτου ἀποδίδωσι λέγων. τοῦτο ἐστὶ κυρίως Ἴδιον, ὃ ἀντιστρέφει τῷ Εἴδει. οἷον γελαστικόν ἐστιν, ἄρα ἄνθρωπος.

## Περὶ Συμβεβηκότος.

Οὐκ ἀλόγως ὁ Πορφύριος ἔσχατον πάντων τὸ Συμβεβηκὸς ἐκτίθεται. τοῦτο γὰρ ἐκεῖνο ἐκ τῆς οἰκείας ἀποκεκλήρωται φύσεως, διὰ τὸ πάντων τῶν τῆς οὐσίας κατηγορουμένων ἔσχατον εἶναι τῇ φύσει, καὶ ταύτης κεχωρισμένον. τέτταρα δὲ ποιεῖ ἐν τῷ παρόντι Κεφαλαίῳ. πρῶτον ἀφορίζει τὸ συμβεβηκός. δεύτερον διαιρεσίν τινα τούτου ἐκτίθησιν ἐναντίαν ταῖς ἀνωτέρω. περὶ γὰρ παντὸς συμβεβηκότος αὐτῷ ὁ λόγος ἐπὶ τοῦ παρόντος. τρίτον τινὰ ἀπορίαν ἀνακύπτουσαν ἐπιλύεται. καὶ τελευταῖον δύο ὑπογραφὰς τοῦ Συμβεβηκότος παρὰ τῶν πρώτων ἐπιφέρει

Ἵνα δὲ σαφὲς γένηται τὸ λεγόμενον, εἰδέναι δέον. ὅτι τὸ Συμβεβηκὸς διχῶς λέγεται, τὸ μὲν ἴδιον, τὸ δὲ κοινόν. καὶ ἴδιον μέν ἐστι, τὸ

μὴ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μὴ ἐκτεινόμενον ἐπὶ πολλὰ Εἴδη, ἀλλὰ προερχόμενον ἀπὸ τῆς Οὐσίας αὐτοῦ τοῦ Εἴδους οὗ ἐστιν ἴδιον. περὶ οὗ εἴρηται ἐν τῷ οἰκείῳ Κεφαλαίῳ. κοινὸν δέ ἐστι, τὸ ἀδιαφόρως πλείοσιν ἐπιγινόμενον φύσεσι, περὶ οὗ ἐνταῦθα ὁ λόγος. ἐνδέχεται δὲ τὸ κοινὸν συμβεβηκὸς θεωρηθῆναι τριχῶς. πρῶτον κατὰ τὴν οἰκείαν φύσιν, ὃν τρόπον θεωρεῖται ἐν τοῖς Μεταφυσικοῖς. δεύτερον ἐπὶ τῆς οἰκείας κατηγορίας, ἐφ᾽ ἧς τὰ ἀνωτέρω τῶν κατωτέρω κατηγορεῖται καθ᾽ αὑτό. οἷον ἡ ποιότης κατὰ τῆς ἕξεως, καὶ αὕτη κατὰ τῆς Ἐπιστήμης, ὃν τρόπον θεωρηθήσεται ἐν τῷ περὶ Κατηγοριῶν Βιβλίῳ. τρίτον θεωρεῖται τὸ Συμβεβηκὸς, καθ᾽ ὅσον ἐνυπάρχει τῇ πρώτῃ Οὐσίᾳ, ἐφ᾽ ἧς κατὰ Συμβεβηκὸς ἐπιγίνεται, καὶ καθ᾽ ἧς ὁμοίως κατὰ συμβεβηκὸς κατηγορεῖται. ὃν τρόπον ἐνταῦθα περὶ αὐτοῦ ἡ διάσκεψις γίνεται. ὅπερ ὁ Πορφύριος ἀφορίζων φησίν. ὅτι συμβεβηκός ἐστιν, ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. ὡς τὸ ἵστασθαι, τὸ καθῆσθαι, τὸ ἀνίστασθαι, καὶ τὰ ὅμοια. ἅπερ χωριζόμενα, οὐ παραβλάπτει τὸ ὑποκείμενον.

### Δεύτερον μέρος.

Διαιρεῖται τὸ Συμβεβηκὸς ὁ Πορφύριος λέγων· ὅτι τὸ μὲν αὐτοῦ χωριστόν ἐστιν, τὸ δὲ ἀχώριστον. καὶ χωριστὸν μὲν, οἷον ἐστὶ τὸ περιπατεῖν, τὸ καθεύδειν. ἀχώριστον δὲ, οἷον τὸ ἐν Αἰθίοπι μέλαν, ἢ τὸ ἐν Κύκνῳ λευκὸν, καὶ τὰ τοιαῦτα.

### Τρίτον.

Ἐξ ἧς διαιρέσεως ἀπορία τὶς ἀναφύεται. ὅτι ἐν μὲν τῇ ὑπογραφῇ εἴρηται τὸ Συμβεβηκὸς γίνεσθαι καὶ ἀπογίνεσθαι χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, ὅπερ ἐστὶ ταυτὸν τῷ χωρίζεσθαι, πῶς οὖν διαιρῶν τοῦτο εἴρηκεν, ὅτι τὸ μὲν χωριστόν ἐστι, τὸ δὲ ἀχώριστον; ἣν ἐπιλυόμενός φησιν, ὡς εἰ καί τινα τῶν συμβεβηκότων μὴ τυγχάνει χωριζόμενα πράγματι, ἀλλὰ τῇ ἐπινοίᾳ πάντως δυνάμεθα ταῦτα κεχωρισμένως νοῆσαι, μηδὲν τῆς τῶν ὑποκειμένων φύσεως λυμαινομένης. δυνατὸν γὰρ τῇ ἐπινοίᾳ ἐννοῆσαι καὶ τὸν Αἰθίοπα λευκὸν, καὶ τὸν Κύκνον αὖ λευκότητος, οὐδὲν λυμαινομένης τῆς τούτων φύσεως.

Τέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Τέταρτον.

ΕΝ δὲ τῷ τελευταίῳ μέρει δύο ὑπογραφὰς παρὰ τὴν πρώτην ἀποδίδωσιν ὁ Πορφύριος τοῦ Συμβεβηκότος, μίαν μὲν διὰ ἀποφάσεως. Συμβεκές ἐστιν, ὃ οὔτε Γένος ἐστὶν, οὔτε Διαφορὰ, οὔτε Εἶδος, οὔτε Ἴδιον, ἀεὶ δὲ ἐστιν ἐν ὑποκειμένῳ ὑφιστάμενον. ἑτέραν δὲ ἐκ τῆς αὐτοῦ φύσεως. ὅτι Συμβεβηκός ἐστιν, ὃ ἐνδέχεται τῷ αὐτῷ ὑπάρχειν, καὶ μὴ ὑπάρχειν. ἔστι δὲ καὶ παρὰ τῷ Φιλοσόφῳ ἐν τοῖς προλεγομένοις τῶν κατηγοριῶν, ὑπογραφὴ τοῦ Συμβεβηκότος τοιαύτη. Συμβεβηκός ἐστι τὸ ἔντινι μὴ ὡς μέρος ὄν, ἀδύνατον εἶναι χωρὶς τοῦ ἐν ᾧ ἐστίν.

## Ἀπορία.

ἘΚ τῶν ἀποδοθεισῶν ὑπογραφῶν ἀπορίαι τινὲς ἀναφύονται. πρώτη, ὅτι ἐπὶ τῆς πρώτης ὑπογραφῆς εἴρηται τὸ Συμβεβηκὸς γίνεσθαι καὶ ἀπογίνεσθαι χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, τοῦτο δὲ ἐδόκει μὴ ἀληθὲς, διὰ τὸ πολλὰ τῶν συμβεβηκότων ἀχώριστα τοῦ ὑποκειμένου ὑπάρχειν, ὡς τὸ μέλαν ἐν Αἰθίοπι, καὶ τὸ λευκὸν ἐν Κύκνῳ. ἣν ἐπιλυόμενος ὁ Πορφύριος ἔλεγεν, ὅτι οὐ πάντα τὰ Συμβεβηκότα χωρίζεσθαι τοῦ ὑποκειμένου πράγματι, ἀλλὰ τινὰ τούτων τῇ ἐπινοίᾳ ὡς τὰ εἰρημένα. ἐφ᾽ ἧς λύσεως δυνατόν τις ἀπορῆσαι τοῦτον τὸν τρόπον. ὅτι εἰ τοῦτο ἀληθὲς, ἕπεται καὶ τὸ ἴδιον Συμβεβηκὸς κοινὸν εἶναι. δυνατὸν γὰρ κἀκεῖνο τοῦ ὑποκειμένου χωρισθῆναι τῇ ἐπινοίᾳ.

## Λύσις.

ΠΡὸς ὃ ῥητέον, ὅτι εἰ καὶ τὰ ἀχώριστα συμβεβηκότα τῇ ἐπινοίᾳ χωρίζεσθαι εἴρηται, ὡς τὰ ἰδίως λεγόμενα συμβεβηκότα, ἀλλ᾽ οὐ τὸ κυρίως σημαινόμενον τοῦ ἰδίου κατὰ τὸν τέταρτον τούτου τρόπον, ἀδύνατόν ἐστι χωρισθῆναι τοῦ ὅπερ ἐστὶν ἴδιον. τὸ γὰρ ἴδιον ἕπεται προσεχῶς τῇ φύσει τοῦ πράγματος, οὗ ἐστιν ἴδιον. ἧς σωζομένης, ἀδύνατον χωρισθῆναι. ὥσπερ ἐν Ἀνθρώπῳ τὸ λογικόν. ἐγκλείεται γὰρ ἐν τούτῳ τὸ γελαστικὸν, καὶ ἀδύνατον εἶναι καὶ μένειν ἄνθρωπον, μὴ ὄντα γελαστικόν. τὰ δὲ λοιπὰ τρία σημαινόμενα τοῦ ἰδίου τρόπον τινὰ, οὔτε τοῖς Εἴδεσιν ὧν ἐστὶν ἴδια ἐγκλειόμενα, ὡς καὶ ἐφ᾽ ἑτέροις ἐκτεινόμενα, οὔτε ὡς ἀεὶ ὄντα, καί πως

τοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τοῖς κοινῶς συμβεβηκόσιν ἐξομοιούμενα, εἰ καὶ τοῖς κυρίως ἰδίοις συγκαταρίθμηνται, διὰ τὸ δοκεῖν πως ἰδίως τισὶ προσεῖναι, ἀλλ᾽ οὖν τῇ ἐπινοίᾳ χωρίζονται, καὶ τὰ ἐν οἷς εἰσὶν οὐ λυμαίνεται. οὐδὲν γὰρ λυμαίνεται Ἄνος πολιὸς, ἢ μελανόθριξ ἐπινοούμενος. Ἵνα δὲ σαφὲς ᾖ τὸ λεγόμενον, Ἰςέον. ὅτι ὅτε πράγματι καὶ ἐνεργείᾳ τοῦ ὑποκειμένου τὸ Συμβεβηκὸς ἀπογίνεσθαι λέγομεν, οὐ τὴν μετάβασιν τούτου ἀπὸ ὑποκειμένου εἰς ὑποκείμενον ἐννοοῦμεν, ἀλλὰ τὴν κατάπαυσιν, ἢ λῆξιν, ἢ φθορὰν τούτου. ἐνδέχεται δὲ τὸ Συμβεβηκὸς χωρισθῆναι, ἤτοι παύσασθαι τοῦ ὑποκειμένου τριχῶς. ἢ μεταβαλλομένου τοῦ Συμβεβηκότος ὑπὸ τοῦ ἐναντίου, ὡς τὸ θερμὸν ὑπὸ τῆς ψυχρότητος, ἢ ἡ κλίσις ὑπὸ τῆς ὀρθώσεως, ἢ τὸ καθεύδειν ὑπὸ τῆς ἐξυπνήσεως, καὶ τὰ τοιαῦτα. ἢ τῇ ἀναιρέσει τῆς οἰκείας αἰτίας, ὡς ὁ φωτισμὸς ἐν τῷ Ἀέρι, ἀναιρεθέντος τοῦ φωτιςικοῦ σώματος. ἢ ἡ θέρμανσις ἐν τῷ Ὕδατι, ἀναιρεθέντος τοῦ Πυρός. ἢ ἀφαιρεθέντος τοῦ ἀντικειμένου χετικοῦ, ὡς ἀναιρεθέντος τοῦ πατρὸς, συναναιρεῖται καὶ ὁ υἱὸς, ἢ τεθνηκότος τοῦ φίλου, λύει τὸ εἶναι φίλος ὁ ἐναπολειφθείς. καὶ οὕτω μὲν χωρίζεται τὸ Συμβεβηκὸς τοῦ ὑποκειμένου πράγματι. ὅσα δὲ εἰσὶ τοῦ ὑποκειμένου πραγματικῶς ἀχώριςα, τῇ ἐπινοίᾳ χωρίζεσθαι δύναται, πλὴν τοῦ τετάρτου τρόπου τοῦ σημαινομένου τοῦ ἰδίου.

Κἀκεῖνο εἰδέναι δέον, ὅτι τὸ χωρίζεσθαί τι τοῦ πράγματος, διχῶς ἐννοεῖται. ἢ ςερητικῇ ἀφαιρέσει, ἢ θετικῇ. δυνάμεθα οὖν κατὰ μὲν τὴν ςερητικὴν ἀφαίρεσιν τὸν Ἄνθρωπον ἐννοῆσαι οὐδένα λόγον τοῦ γελαςικοῦ ποιούμενοι, τῇ δὲ ἐπινοίᾳ τοῦτο χωρίσαι θετικῇ ἀφαιρέσει ἀδύνατον, δηλαδὴ νοῆσαι τὸν Ἄνθρωπον ἀνεπιτηδειότητα, ἢ ἀδυναμίαν τοῦ γελᾶν ἔχειν, Ἄνον ὄντα. τὰ δὲ λοιπὰ πάντα Συμβεβηκότα, καὶ ςερητικῇ καὶ θετικῇ ἀφαιρέσει χωρίσαι δυνάμεθα· ἐπινοουμένου δηλαδὴ τοῦ ἐναντίου τῷ συμβεβηκότι ἐκείνῳ ἐν τῷ ὑποκειμένῳ, ὡς τὸ λευκὸν ἐν τῷ Κόρακι, καὶ τὸ μέλαν ἐν Κύκνῳ, οὐδοτιοῦν τῆς οὐσίας αὐτῶν παραβλαβείσης.

## Ἀπορία.

Προσέτι κἀκεῖνο ἠπόρηται, ὅτι ἐπὶ τῆς δ΄. ὑπογραφῆς ἐλέγετο ὑπάρχειν ἀεὶ τὸ Συμβεβηκὸς ἐν ὑποκειμένῳ, καὶ ἀδύνατον εἶναι χωρὶς τοῦ ἐν ᾧ ἐςὶ, πῶς οὖν ἐπὶ τῆς δευτέρας εἴρηται τὸ Συμβεβηκὸς ἐνδέχεσθαι τῷ αὐτῷ ὑπάρχειν καὶ μὴ ὑπάρχειν.

Λύ-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Λύσις.

Η῾ Ὅτι ἐπὶ μὲν τῆς τετάρτης ὑπογραφῆς ὁ Φιλόσοφος ἐννοεῖ τὸ Συμβεβηκὸς καθὸ ἐνεργείᾳ ὑπάρχει τῷ ὑποκειμένῳ, οὗ ἀδύνατον εἶναι χωρίς. ἐπὶ δὲ τῆς δευτέρας ὁ Προφύριος τὴν φύσιν τοῦ Συμβεβηκότος ἐννοεῖ, καθ᾽ ἣν ἐνδεχομένως γίνεται καὶ ἀπογίνεται.

## Ἀπορία.

Προσέτι οἱ δι᾽ ἀποφάσεως Ὁρισμοὶ διαβέβληνται τῷ Φιλοσόφῳ ἐν τοῖς Τοπικοῖς, ὡς οὐδὲν ὡρισμένως δηλοῦντες. πῶς οὖν ἐνταῦθα δι᾽ ἀποφάσεως ὁ Πορφύριος ὑπέγραψε τὸ Συμβεβηκὸς, ὥσπερ δηλοῦται ἐπὶ τῆς τρίτης ὑπογραφῆς;

## Λύσις.

Αὕτη ἡ ἀπορία λύεται διαιρέσει χρωμένοις, ὅτι οἱ δι᾽ ἀποφάσεως Ὁρισμοὶ διαβεβλημένοι εἰσὶν, ἡνίκα ἐπὶ ἀδιορίστων, καὶ ποσότητι ἀπεριλήπτων γίνεται. ἐπηνίκα δὲ δι᾽ ἀνελλειποῦς ἀπαριθμήσεως τῶν ὁμοειδῶν καὶ συζύγων συνάγεταί τι ὡρισμένον ἐν τούτοις, αἱ ἀποφάσεις κατάφασιν ὡρισμένως δηλοῦσι. Τοίνυν ἐπὶ τοῦ παρόντος ἀπαριθμησάμενος ὁ Πορφύριος τὸν ἀριθμὸν τῶν φωνῶν διὰ τῆς ἀποφάσεως τῶν τεττάρων, τί ἐστι τὸ ε. ἐδήλωσε, λέγων. ὃ μήτε Γένος ἐστὶ, μήτε Εἶδος, μήτε Διαφορὰ, μήτε Ἴδιον. μὴ ὂν δὲ οὐδὲν τούτων, ἔσαι ἄρα Συμβεβηκός. μεθ᾽ ἃ ἐπιφέρει. ἀεὶ δὲ ἐν ὑποκειμένῳ ὑφιστάμενον, ἵνα τῶν ἐν τῇ ἐπινοίᾳ ὑφισταμένων τοῦτο χωρίσῃ. ὡς Τραγέλαφος, Κένταυρος, καὶ τὰ ὅμοια τῇ ἐπινοίᾳ ὑφιστάμενα, οὐκ ἐν ὑποκειμένῳ.

Εἶχε δέ τις εἰπεῖν πρὸς τὰ τοιαῦτα, τί μὴ καὶ τὰς λοιπὰς φωνὰς διὰ τοιαύτης ὑπογραφῆς ἀποδέδωκεν, ἐπείπερ πρότερον τὸν ἀριθμὸν τούτων ἐδήλωσεν; ἢ ὅτι ἐδήλωσε μὲν τὸν ἀριθμὸν, οὐ μὴν ἐδίδαξε τί ἐστι τούτων ἕκαστον, μετὰ δὲ τὸ διδάξαι τὰ τέτταρα, εἴρηκε, συμβεβηκός ἐστιν, ὃ μηδέν ἐστι τούτων. ὅπερ εἰ πρότερον ἐπὶ τῶν ἄλλων ἐποίησεν, ἀμφιβολίαν ἐδίδου ἂν ὁποίας φύσεως ἂν εἴη τὸ ὑπογραφόμενον.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Ἀπορία.

Ἐπὶ μὲν τῆς πρώτης ὑπογραφῆς εἴρηται· τὸ Συμβεβηκὸς ἀπογίνεσθαι χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, ἐμπρησμὸς δὲ καὶ θάνατος, καὶ ὅσ᾽ ἄλλαι διαφθοραί, συμβεβηκότα μὲν εἰσίν, οὐκ ἀπογίνονται δὲ αὐτοὶ τῆς τοῦ ὑποκειμένου φθορᾶς.

## Λύσις.

Πρὸς ταῦτα, πρῶτον μὲν εἰπεῖν ἔξεσιν, ὡς ὁ Πορφύριος ἐνταῦθα, οὐ περὶ τῶν στερητικῶν Συμβεβηκότων ποιεῖται τὸν λόγον, οἷαι εἰσὶν αἱ ῥηθεῖσαι διαφθοραί, ἀλλὰ περὶ τῶν θετικῶν. δεύτερον εἰπεῖν ἔχομεν, ὡς αἱ τοιαῦται διαφθοραὶ οὐ συμβαίνουσι τοῖς φθειρομένοις ὑποκειμένοις, ἀλλὰ τῇ ἐκείνων ὕλῃ, ἥτις καὶ διαμένει τοῦ Εἴδους ἀναιρεθέντος. φέρε εἰπεῖν, ὡς ἐπὶ τῶν χορδῶν ἡ ἄνεσις προσγινομένη, τὴν ἐπίτασιν διέλυσε, καθ᾽ ἣν ἡ ἁρμονία ἐγίνετο, αἱ μέντοι χορδαί, οὐδὲν ἧττον ἐναπελείφθησαν. ἢ τὸ Πῦρ προσγεγονὸς τῇ Οἰκίᾳ τὴν τοιάνδε θέσιν μέν, καὶ τὴν ἐν τοῖς ξύλοις διὰ τοῦ Εἴδους πύκνωσιν διέλυσεν, ἡ ὕλη μέντοι τούτων μετὰ τὴν καῦσιν διέμεινεν.

## Ἀπορία.

Ἴσως δ᾽ αὖτις καὶ πρὸς τὰ εἰρημένα ἐνσταίη, φέρε εἰπεῖν, ὡς τοῦ πυρετοῦ ὑποκείμενόν ἐστιν οὐχ ἁπλῶς τὸ σῶμα, ἀλλὰ τὸ τοιῶς δε κεκραμένον τοῦ Ζώου σῶμα, ὅπερ φθείρεται, ἀμέσως αὐτῷ ἢ πυρετοῦ, ἢ ψύξεως ἐπιγινομένων. πῶς οὖν εἴρηται ὅτι διαμένει;

## Λύσις.

Πρὸς ταῦτα ῥητέον. ὅτι ἡ μεταβολὴ ἐν τέσσαρσι κατηγορίαις θεωρεῖται, ( ὡς εἰσόμεθα ) ἐν τῇ Ποῦ, ἐν τῷ Ποσῷ, ἐν τῷ Ποιῷ, καὶ ἐν τῇ Οὐσίᾳ. καὶ ἡ μὲν κατ᾽ οὐσίαν μεταβολή, εἰ μὲν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν ἐστί, λέγεται γένεσις, εἰ δὲ ἐναντίως, λέγεται φθορά. εἰ τοίνυν ἡ γένεσις ἐστὶν οὐσιώδης μεταβολή, καὶ ἡ ἀντικειμένη ἄρα ταύτῃ φθορά, ἔσται οὐσιώδης μεταβολή. ὥστε ὁ Πυρετὸς εἰ φθείρει τὸ ὑποκείμενον οὐκ ἔστι

Συμ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Συμβεβηκὸς, ἀλλὰ κατ' Οὐσίαν μεταβολὴ, ἤτοι φθορά. ἐπειδὴ δὲ ἡ γένεσις καὶ ἡ φθορὰ ἀλλοιώσεις μὲν οὐκ εἰσὶν, ἄνευ δὲ ἀλλοιώσεως οὐ γίνονται, ὅταν μετρία γίνεται θερμανσία, ἢ ψύξις, ὥστε μὴ φθείρειν τὴν συμμετρίαν τοῦ Ζώου, συμβεβηκὸς λέγεται, ἥτις καὶ ἀπογίνεται μὴ φθείρουσα τὸ ὑποκείμενον. ὅταν δὲ ἐπὶ πλεῖστον ἐκπαθῇ, ὥς τε τὴν συμμετρίαν τῆς κράσεως τοῦ ὑποκειμένου φθαρῆναι, τότε οὐκ ἔστι κατὰ συμβεβηκὸς μεταβολὴ, ἀλλ' αὐτῆς τῆς Οὐσίας φθορὰ, ἥτις καὶ οὐσιώδης λέγεται. καὶ ταῦτα περὶ τῶν πέντε Φωνῶν.

Ἡ τάξις τῆς προεκτεθείσης διαιρέσεως τοῦ συνταγματίου τοῦ Πορφυρίου, πάντως ἀπῄτει μετὰ τὴν ἔκθεσιν τῶν πέντε Φωνῶν, ἐκθέσθαι τὴν σύγκρισιν καὶ παραβολὴν τούτων, ἀλλ' ἐκ τῶν εἰρημένων, εὐχερής ἐστι τοῖς ἀναγινώσκουσιν ἡ τοῦ Συγγραφέως ἐν ἐκείνοις ἔννοια. διὸ εἰς τὸ περὶ Κατηγοριῶν μεταβῶμεν Βιβλίον.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

- α. ὁρίζει τὸ συμβεβηκὸς λέγων, Συμβεβηκός ἐστιν ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς.
- β. διαιρεῖ τὸ συμβεβηκὸς λέγων.
  - Τὸ μὲν αὐτοῦ χωριστόν ἐστιν, ὡς τὸ περιπατεῖν, τὸ καθεύδειν.
  - Τὸ δὲ ἀχώριστον, ὡς τὸ ἐν Αἰθίοπι μέλαν, ἢ τῷ Κύκνῳ λευκόν.
- γ. τινὰ ἀπορίαν ἀνακύπτουσαν ἐπιλύεται.
- δ. δύο ὑπογραφὰς τοῦ Συμβεβηκότος παρὰ τὴν πρώτην ἐπιφέρει.
  - Συμβεβηκός ἐστιν, ὃ ἐνδέχεται τῷ αὐτῷ ὑπάρχειν, καὶ μὴ ὑπάρχειν.
  - Συμβεβηκός ἐστιν, ὃ οὔτε Γένος, οὔτε Εἶδος, οὔτε Διαφορά, οὔτε Ἴδιον, ἀεὶ δὲ ἐν ὑποκειμένῳ ὑφιστάμενον.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006